UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Philippi Cyprii, Protonotarii Constantinopolitani, Chronicon Ecclesiae Graecae

Philippus <Cyprius>

Franeqverae, 1679

2 De censu.

urn:nbn:de:hbz:466:1-10949

Visual Library

ΚΕΦΑΛ. Β.

Περὶ τοῦ φόρου.

Δίδωσι καὶ φόρον ἕκαστον ἄρσεν τῷ βασιλεῖ τῶν Τούρκων· αἱ δὲ γυναῖκες, οὐδὲν διδόασι. τουτέστιν, εἰ μὲν ὦσιν ἐν ἑνὶ οἴκῳ πάντες ἄρσενες, ἀπὸ εἰκοσαετῶν καὶ ἄνω; διδόασιν ἓξ σολδία ἕκαστον ἄρσεν ἐν τῷ ἐνιαυτῷ· ἐὰν δὲ νέοι ὦσι, τουτέστιν, ἀπὸ πέντε καὶ δεκαέτου, μόνον τρία σολδία. ἐὰν δὲ πλεῖον τῶν πέντε καὶ δεκαετῶν, τέτταρα ἢ πέντε, ἕως γένωνται εἰκοσαετικῶν. Θέλουσι δὲ τοῦτον τὸν φόρον διδόναι, ὅτι λέγει ὁ κύριος, Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις. Ἔχουσι γὰρ ἔθος οἱ ὄφεις τοιοῦτον· ὅταν τις ἐχθρὸς θέλῃ ἀποκτεῖναι τὸν ὄφιν, ὁ ὄφις φεύγει, ὅσον δύναται. καὶ εἰ μὲν δυνηθῇ κρυβῆναι ὅλος, καλῶς ἔχει. ἐὰν δὲ μὴ δυνηθῇ κρύψαι ὅλον τὸ σῶμα, τότε ζητεῖ μόνον κρύψαι τὴν κεφαλὴν, καὶ ὅλον τὸ σῶμα παραδίδωσι πρὸς τὸ κόπτεσθαι. Καὶ ὅταν ὁ ἐχθρὸς παρέλθῃ, τότε ἡ κεφαλὴ τοῦ ὄφεως ἐξέρχεται μόνη, κεχωρισμένη ἀπὸ τῶν μερῶν τοῦ σώματος, καὶ περιπατεῖ ἄνευ σώματος, καὶ πορεύεται πρός τινα χόρτον, ὃν αὐτὸς οἶδε, καὶ λαμβάνει τοῖς ὀδοῦσιν αὐτοῦ τὸν χόρτον, καὶ οὕτως ἔρχεται πρὸς τὸ λοιπὸν κεκομμένον σῶμα, καὶ ἀλείφει τὸ κεκομμένον μέρος τοῦ σώματος αὐτοῦ σὺν τῷ χόρτῳ, καὶ ἔπειτα στρέφει τὸ κεκομμένον μέρος τῆς κεφαλῆς, καὶ συναρμόττει τῷ κεκομμένῳ μέρει, τῷ προτέρῳ ἀλειφθέντι τοῦ σώματος. Καὶ οὕτως ἰᾶται ἐκείνῳ τῷ κεκομμένῳ μέρει. Καὶ οὕτως ποιεῖ καὶ πρὸς τὰ λοιπὰ μέρη τὰ κεκομμένα, ἕως οὗ πάντα ἰαθῶσι, καὶ οὕτω τελείως ἀπέρχεται ὑγιής. Κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ οἱ Ἕλληνες λογίζονται, κεφαλὴν μὲν τὴν πίστιν, σῶμα δὲ τὰ χρήματα. Ἐὰν δὲ συμβῇ ἐχθρὸς, ζητῶν θανατῶσαι αὐτοὺς θρησκείας ἕνεκα, τὸ δὲ αὐτοὶ διδόασι τὸ σῶμα, τουτέστι τὰ χρήματα περὶ τῆς θρησκείας, καὶ οὕτω φυλάττουσι τὴν θρησκείαν αὐτῶν, ὡς ὁ ὄφις τὴν ἑαυτοῦ κεφαλήν. Καὶ ὥσπερ ὁ ὄφις ἀναζωπυρεῖ ὅλον τὸ σῶμα, μετὰ τὴν ἀπέλευσιν τοῦ ἐχθροῦ· οὕτω καὶ ἡ πίστις ἐν τῇ δευτέρᾳ παρουσίᾳ ἀνιστᾷ καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα. Μέμνηται δὲ τῆς Ἀποκαλύψεως τοῦ Ἰωάννου, λέγοντος ἐν

κεφ.

CAPUT II.
DE
Tributo.

TRibutum quoque maſculi (fœminæ enim ab hoc onere exemtæ ſunt) omnes Turcico Imperatori pendere coguntur. Cujus modus ita ſe habet: Quod ſi in domo aliquâ omnes maſculi extiterint, cuncti qui vigeſimum ſive attigerint ſive jam ſupergreſſi fuerint anunum, ſingulis annis ſenos ſolidos ſolvunt. Sin verò ætate fuerint minores, hoc eſt, quintum ultra decimum tantùm expleverint annum, tres ſolum. Sin quindecim annis majores, ſolidos quatuor, vel quinque numerant, donec ipſum vigeſimum ætatis annum expleant. Placet autem illis hoc tributum ſolvere, quia dicit Dominus: Eſtote prudentes ſicut ſerpentes. Serpentibus autem in more poſitum eſt, vt hoſte aliquo mortem illis intentante, quanta poſſint celeritate in fugam ſe conjiciant, & ſiquidem ſe totos in latebram aliquam abdere poſſunt, benè ſe res habet: ſin verò corpus integrum occultare nequeunt, hoc unicè agunt, ut caput ſartum tectum lateat, corpore licet reliquo ictibus hoſtilibus expoſito. Abſente autem jam hoſte, ſolum caput à reliquis corporis partibus detruncatum prodit, & corpore ſuo deſtitutum hinc inde vagatur, certam aliquam ſibi benè notam herbam quærens, inventamque dentibus decerptam tenens, ad alias corporis ſui partes revertitur; abſciſſamque corporis partem herbâ hac inungens, capiti admovet, ac iſtâ ratione caput ante unctæ portioni adaptans, reſectæque parti medelam adferens. Eundem in reſtantibus reſectis corporis partibus integritati priſtinæ reſtituendis modum obſervat, quoad omnes denuò conjunctæ, atque ſic totus incolumitati reſtitutus integer abire valeat. Illud ipſum Græci quoque imitantur, religionem caput, facultates verò & opes corpus ſuum exiſtimantes. Quod ſi igitur hoſtem aliquem adventare contingat, qui eos cultus divini causâ quærit interficere, tum illi corpus, hoc eſt, aurum argentumque ſuum religionis cauſa negligunt, eandemque ut caput ſuum ſerpens, hoc modo inviolatam & liberam præſtant. Et quemadmodum ſerpens poſt hoſtis abitum, corpus jam exanime redditum ab interitu ad vitam revocat: ita quoque propter fidem in poſtremo adventu & corpus & anima à morte reſurgit. Cujus rei Johan-

κεφ. ζ. Οὗτοί εἰσιν οἱ ἐρχόμενοι ἐκ τῆς θλίψεως τῆς μεγάλης· καὶ ἔπλυναν τὰς στολὰς αὐτῶν, καὶ ἐλεύκαναν τὰς στολὰς αὐτῶν ἐν τῷ αἵματι τοῦ ἀρνίου.

Ἔτι διδόασι καὶ ἕτερον φόρον. Ὅταν στρατεύματα ἐξέρχεται πορευθῆναι εἰς τὸν πόλεμον, εἰώθασι διδόναι χρήματα ἕνεκα ἄρτου καὶ κρέατος, πρὸς ζωοτροφίαν τῶν στρατιωτῶν. Τοῦτο δὲ τὸ δόσιμον οὐκ ἐπίσης δίδοται, ἀλλ᾽ ὡς τύχει τὰ στρατεύματα, τουτέστι, ποτὲ μὲν μίαν μνᾶν, ποτὲ δὲ δέκα σολδία, ποτὲ δὲ καὶ πλεῖον τῶν δέκα σολδίων. Καὶ πάλιν οὐ πάντες οἱ οἶκοι διδόασιν ὁμοίως ἐν τούτῳ τῷ φόρῳ, ὥσπερ ἐν τῷ πρώτῳ φόρῳ, ὅτ᾽ ἐν ἐκείνῳ τῷ φόρῳ πλούσιοι καὶ πτωχοὶ τὸν αὐτὸν ἀριθμὸν διδόασιν· ἐν δὲ τούτῳ τῷ πλεονάζοντι φόρῳ, τὸ κατὰ δύναμιν διδόασι ἕκαστος. Ἔτι διδόασιν καὶ ἕτερον χρέος, τουτέστιν, ὅταν βασιλικοὶ ἄνθρωποι στέλλονται συλλέγειν τοὺς φόρους τῶν Χριστιανῶν, ὅπου ἂν πορεύονται οἱ κατοικοῦντες Χριστιανοὶ ἐν ἐκείνῃ τῇ ὁδῷ, διδόασι τὰς τροφὰς τοῖς βασιλικοῖς ἀνδράσι. Καὶ ταῦτα περὶ τῶν φόρων.

ΚΕΦΑΛ. Γ.

Περὶ τοῦ δεκατισμοῦ τῶν παίδων.

Ὁ δεκατισμὸς τῶν παίδων οὕτως ἔχει. Ἐν τῷ καιρῷ, ἐν ᾧ Τοῦρκος κατεκυρίευσε τῶν Ἑλλήνων, ἠρίθμησεν ἐν ἑκάστῃ πόλει τε καὶ χωρίῳ τοὺς οἴκους, καὶ ἐκέλευσεν ἀνὰ τέτταρα ἔτη λαμβάνειν ἕνα παῖδα, ἀπὸ δέκα οἴκων χάριν λόγου. Ἦσαν τότε ἐν μίᾳ πόλει ἑκατὸν οἶκοι, ἔλαβεν ἐκ δέκα δεκάδων οἴκων, ἕνα παῖδα ἐξ ἑκάστης δεκάδος. πάλιν μετὰ τέτταρα ἔτη ἔλαβον ἕτερα δέκα παιδία, ἐκ τοῦ δευτέρου οἴκου, τουτέστιν, ἐκ τοῦ ἐπομένου οἴκου, καὶ οὐκ ἐκ τοῦ πρώτου οἴκου, ὅπου ἔλαβον πρὸ τῶν τεσσάρων ἐτῶν. Καὶ οὕτω ἀνὰ τέτταρα ἔτη λαμβάνουσιν, ἕως ἂν πληρωθῶσι δεκάκις ἑκατὸν οἶκοι. Καὶ τότε πάλιν ἄρχονται λαμβάνειν ἐκ τοῦ πρώτου οἴκου. Ἕως τοῦ ἐπιστρέψαι αὐτοὺς εἰς τὸν πρῶτον οἶκον, παρέρχεται τεσσαράκοντα ἔτη. Καὶ μετὰ τεσσαράκοντα ἔτη πάλιν ἐπιστρέφουσιν εἰς τὸν πρῶτον οἶκον. Καὶ τὸν αὐτὸν τρόπον ποιοῦσι καὶ πρὸς τοὺς λοιποὺς οἴκους, καὶ πόλεις. Ἔστι δὲ καὶ ἕτερος τρόπος ἀδικίας, πρὸς τὸ συλλέγειν τὰ παιδία. Τουτέστιν, ὅταν οἱ ἄρχοντες ἐξέρχονται παρὰ

τοῦ

ſtes in Apocalypſi cap. VII. mentionem facit, dicens: Hi ſunt qui venerunt è tribulatione magna, & laverunt ſtolas ſuas, & ſanguine agni candefecerunt.

Inſuper etiam aliud ſolvunt vectigal Græci. Quando copiæ militares in bellum proficiſcuntur, tum illi ad comparandum panem & carnem, hoc eſt, commeatum militarem pecuniam illis erogare ſolent. Sumptus autem hi, qui in milites impenduntur, non ſemper ſunt iidem & æquales, ſed pro numero militum & accreſcunt & decreſcunt, id eſt, interdum minam unam, aliquando ſolidos decem, aliquando & amplius ſolvunt. Prætereà non omnes domus, ſicut in primo cenſu fiebat, æqualiter pendunt. Ibi enim omnes capitibus cenſentur, & tum divites, tum pauperes eandem ſummam numerare coguntur, in hoc verò ſuperaccedente tributo, quantitatis facultatum cujuſque habetur ratio. Inſuper etiam aliud debitum exſolvunt, hoc eſt, quando miniſtri Imperatorii ad tributa Chriſtianorum colligenda ablegantur, Chriſtiani in illâ, per quam tendunt, viâ habitantes, neceſſaria ipſis ſuppeditare coguntur. Et tantum de tributo.

CAPUT III.
DE
Decimatione liberorum.

DEcimatio liberorum ſequentem ad modum peragitur. Cum olim Turca Græcos dominio ſuo ſubjeciſſet, omnes illico in urbibus & in pagis domos numerari curavit; juſſitque, ut elapſo quovis quadriennio è domibus decem unus puer auferretur. Exempli gratiâ. Fuerunt tum fortè in civitate quadam centum domus, accepit igitur è decem domuum decadibus, è qualibet decade unum puerum. Quatuor aliis annis præterlapſis, è domo contiguâ, hoc eſt, quæ primæ ordine ſuccedit, non autem illa quæ ante annos quatuor filium præbuit, alios decem pueros eripuerunt. Atque ſic per intervalla quatuor annorum decimas colligunt, quoad collectio è centum domibus decies conficiatur; quo facto, denuò à primâ domo initium faciunt. Priusquam autem ad illam, unde primò omnium decimatio fieri cœpta eſt, domum perveniant, quadraginta annorum effluit tempus. Et hunc ipſum morem modumque in omnibus domibus, pagis & urbi-

 bus

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN